θύννάν τε καὶ μυσσωτὸν ἡμέρας πάσας
δαινύμενος ὥσπερ Λαμψακηνὸς εὐνοῦχος
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
πέτρας {τ'} ὀρείας, σῦκα μέτρια τρώγων
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

**26a** Ath. 645c

οὐκ ἀτταγέας τε καὶ λαγοὺς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων.

1 Id. 388b; Tzetz. *Exeg. Il. A* 118

**27** Anon. π. βαρβ. καὶ σολοικ. p. 177 Valckenaer (1822); Anon. Mutinensis, ed. Bühler, *Mus. Criticum* 4 (1969), 10 sqq.

καὶ τοὺς σολοίκους ἢν λάβωσι περνᾶσι,
Φρύγας μὲν ἐς Μίλητον ἀλφιτεύσοντας.

1 Eust. in Hom. p. 368. 1; Anon. *de soloec.* p. 187 Valck.

**28** Tzetz. schol. *Antehom.* 168 (Morelli, *Iliacum carmen* p. 8 + ten Brink, *Phil.* 6, 1851, 36) ἐκ τῶν κατὰ Μιμνῆ τοῦ ζωγράφου χωλιάμβων

⊗ Μιμνῆ κατωμόχανε, μηκέτι γράψῃς



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/108 UNIVERSITÄT LEIPZIG